# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
## εἰς τοὺς Ὁσίους αὐταδέλφους Θεοχάρην καὶ Ἀπόστολον τοὺς ἐν Ἄρτῃ ὁσίως διαλάμψαντας.

Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.

Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ **Κύριε εἰσάκουσον,** μεθ᾽ ὃ τὸ **Θεὸς Κύριος** ὡς συνήθως καὶ τὸ ἑξῆς:

Ἦχος δ΄. **Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Τῆς αἰωνίου ἀπολαύοντες δόξης, τῶν αὐταδέλφων ξυνωρὶς ἡ ὁσία, ὁ Θεοχάρης ἅμα καὶ Ἀπόστολος, πάσης ἡμᾶς ῥύσασθε, συνοχῆς καὶ ἀνάγκης, ταῖς ὑμῶν δεήσεσι, πρὸς Χριστὸν τὸν Σωτῆρα, καὶ τῶν πταισμάτων ἄφεσιν ἡμῖν, ἀεὶ αἰτεῖσθε, δεόμεθα Ἅγιοι.

Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι. Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων, τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς

γὰρ δούλους σώζεις ἀεί ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄. καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχίς:

«Δυὰς Ὁσίων παθῶν με σώζοις». Γερασίμου.

Δυὰς αὐταδέλφων ἡ ἐκλεκτή, Θεόχαρες μάκαρ, καὶ Ἀπόστολε ἱερέ, Τριάδα τὴν θείαν δυσωπεῖτε, ἁμαρτιῶν ἡμῖν δοῦναι συγχώρησιν.

Υπέρτιμον ζήσαντες βιοτήν, αὐτάδελφοι θεῖοι, ὡς θεράποντες τοῦ Χριστοῦ, ἡμῶν κατευθύνατε τὸν βίον, πρὸς ἀρετῶν ἐπιδόσεις δεόμεθα.

Ἀγγέλων συνόντες θείοις χοροῖς, Θεόχαρες μάκαρ, καὶ Ἀπόστολε ἱερέ, Χριστόν, σὺν αὐτοῖς ἐκδυσωπεῖτε, ρύεσθε πάσης ἡμᾶς περιστάσεως.

Θεοτοκίον.

Σαρκὸς ὁμοιώματι ἐκ τῶν σῶν, αἱμάτων ὁ Λόγος, ὁ συνάναρχος τῷ Πατρί, ἐτέχθη καὶ ἔσωσε Παρθένε, ἐκ τῆς ἀρχαίας ἡμᾶς κατακρίσεως.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Οὐρανῶν τὰς σκηνώσεις, τὰς φωταυγεῖς Ἅγιοι, ἤδη κατοικοῦντες καὶ δόξης θείας πληρούμενοι, ἡμῶν προσδέξασθε, σὺν Θεοχάρει τῷ θείῳ, Ὅσιε Ἀπόστολε, ταύτην τὴν δέησιν.

Συντονίᾳ τῇ θείᾳ, τῶν ἀρετῶν λάμψαντες, σύν τῷ ἱερῷ Θεοχάρει, μάκαρ Ἀπόστολε, ἡμᾶς συνάψατε, ἐν ὁμονοίᾳ, καὶ πίστει, ἐκπληροῦν τό θέλημα, τοῦ Παντοκράτορος.

Ἱλασμὸν ἐξαιτεῖσθε, παρὰ Χριστοῦ Ἅγιοι, καὶ πειρατηρίων παντοίων, τήν ἀπολύτρωσιν, ἡμῖν δεόμεθα, σύν τῷ κλεινῷ Θεοχάρει, Ὅσιε Ἀπόστολε, Θεοῦ θεράποντες.

Θεοτοκίον.

Ὡς πυρίμορφος θρόνος, καί λογικός Ἄχραντε, φέρεις ταῖς ἀχράντοις χερσί σου, καθάπερ νήπιον, τόν πάντων

Κύριον, ὅν ἐκτενῶς ἐκδυσώπει, τῆς χειρός με ρύσασθαι, τοῦ πολεμήτορος.

Διάσωσον τῶν αὐταδέλφων Ὁσίων δυάς ἁγία, πάσης βλάβης τοῦ χαλεποῦ πολεμήτορος, ὑμῶν πρεσβείαις τούς πόθῳ ὑμᾶς τιμῶντας.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν, καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

Αἴτησις καὶ τὸ κάθισμα.

Ἦχος β΄. **Πρεσβεία θερμή.**

Δυάς ἡ σεπτή, τῶν αὐταδέλφων πρέσβευε, Χριστῷ τῷ Θεῷ, λυτροῦσθαι πάσης θλίψεως, Θεόχαρες μακάριε, καί Ἀπόστολε τούς καταφεύγοντας, τῇ ἀντιλήψει ὑμῶν καί Χριστοῦ, αἰτοῦντες τό ἔλεος ἑκάστοτε.

Ὠδή δ΄. **Εἰσακήκοα Κύριε.**

Νοσημάτων λυτρώσασθε, Ὅσιε Θεόχαρες καί Ἀπόστολε, τούς ἐν πίστει μακαρίζοντας, τῆς ὑμῶν ζωῆς τά προτερήματα.

Πλήρεις χάριτος πέλοντες, Ὅσιε Ἀπόστολε καί Θεόχαρες, τήν ψυχήν μου χαριτώσατε, ἐναρέτων ἔργων ἐπιδόσεσιν.

Ἀρεταῖς διαπρέψαντες, Ὅσιοι αὐτάδελφοι βίῳ κρείττονι, πληρωτάς τελείους δείξατε, ἐντολῶν ἡμᾶς τοῦ Παντοκράτορος.

Θεοτοκίον.

Θεοτόκε Πανύμνητε, ἡ τόν Θεόν Λόγον ἀφθόρως τέξασα, ἐκ φθορᾶς παθῶν καί θλίψεων, λύτρωσαι τούς πίστει σε δοξάζοντας.

Ὠδή ε΄. **Φώτισον ἡμᾶς.**

Ὤφθητε ἐν γῇ, βίον θεῖον βιοτεύοντες, οὗπερ θείους ἐραστάς καί μιμητάς, ἀναδείξατε ἡμᾶς θεῖοι αὐτάδελφοι.

Νόμῳ τοῦ Θεοῦ, νουνεχῶς πολιτευσάμενοι, ἀνομίας πάσης ρύσασθε ἡμᾶς, ὦ Θεόχαρες καὶ Ὅσιε Ἀπόστολε.

Μόνον τοῦ Χριστοῦ, τὴν ἀγάπην προτιμήσαντες, ἐδοξάσθητε αὐτάδελφοι λαμπρῶς, ἱκετεύοντες σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Θεοτοκίον.**

Ἔργοις σκοτεινοῖς, τὴν ψυχήν μου ἀπημαύρωσα· ἀλλὰ σὺ ὥσπερ ἐλέους θησαυρός, Θεοτόκε τοῦ ἀλάστορός με λύτρωσαι.

**Ὠδὴ στ΄. Τὴν δέησιν.**

Συνόμιλοι, τῶν Ἁγίων Ἀγγέλων, ἐν τῇ ἄνω χρηματίζοντες πόλει, σὺν Θεοχάρει Ἀπόστολε μάκαρ, ὑπὲρ ἡμῶν σὺν αὐτοῖς ἱκετεύσατε, τὸν ἐλεήμονα Χριστόν, ἡμῖν δοῦναι πταισμάτων συγχώρησιν.

Ὡς σύμψυχοι, ἐν ἀγῶσιν ἁγίοις, παναοίδιμοι αὐτάδελφοι θεῖοι, σὺν Ἀποστόλῳ Θεόχαρες μάκαρ, ἐν ὁμονοίᾳ ἡμᾶς συντηρήσατε, καὶ ἐν ἀγάπῃ ἀληθεῖ, τῇ παρούσῃ ζωῇ πολιτεύεσθαι.

Ζεούσῃ, ἐν εὐλαβείᾳ τὸν βίον, διελθόντες καὶ ἐν φόβῳ Κυρίου, τῆς οὐρανίου ζωῆς κληρονόμοι, μετὰ τὸ ἅγιον τέλος γεγόνατε· ἧς καὶ ἡμᾶς ἀπολαβεῖν, ἱκεσίαις ὑμῶν ἀξιώσατε.

**Θεοτοκίον.**

Ὁ θρόνος, τοῦ Βασιλέως τῆς δόξης, ἡ πυρίμορφος Κυρίου καθέδρα, Εὐλογημένη Παρθένε Μαρία, τὴν ταπεινήν μου καρδίαν ἀνάδειξον, δοχεῖον θείων ἐννοιῶν, διὰ βίου σεμνοῦ ἱκετεύω σε.

Διάσωσον τῶν αὐταδέλφων Ὁσίων δυὰς ἁγία, πάσης βλάβης τοῦ χαλεποῦ πολεμήτορος, ὑμῶν πρεσβείαις τοὺς πόθῳ ὑμᾶς τιμῶντας.

Ἄχραντε ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον ὡς ἔχουσα μητρικὴν παρρησίαν.

### Αἴτησις καί τὸ Κοντάκιον.

**Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

Ἐν ὁσιότητι βίου βιώσαντες, σὺν Θεοχάρει παμμάκαρ Ἀπόστολε, τῆς ἄνω ζωῆς ἠξιώθητε, καὶ τῶν Ἁγίων τοῖς δήμοις συνήφθητε, αἰτούμενοι πᾶσι θείαν ἄφεσιν.

### Προκείμενον.

**Καυχήσονται Ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται**
**ἐπὶ τῶν κοιτῶν αὐτῶν.**
Στίχ: **Μακάριοι οἱ ἄμωμοι....**
Εὐαγγέλιον τοῦ Ἁγίου Σάββα, ε΄. Δεκεμβρίου.
**Δόξα. Ταῖς τῶν σῶν Ὁσίων...**
**καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...**

### Προσόμοιον.

**Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**
Στίχ: **Ἐλέησόν με ὁ Θεός....**

Βίον ἐνθεώτατον, ἐν ψυχικῇ συμφωνίᾳ, νουνεχῶς διήλθετε, Ὅσιε Θεόχαρες καὶ Ἀπόστολε, καὶ χαρᾶς μέτοχοι, τῆς ἐπουρανίου, μετὰ τέλος ἀνεδείχθητε· διὸ δεόμεθα, πάσης ἡμᾶς λύπης καὶ θλίψεως, καὶ πειρασμῶν λυτρώσασθε, καὶ ἀσθενημάτων μακάριοι, ταῖς ὑμῶν πρεσβείαις, τοὺς πόθῳ μακαρίζοντας ὑμᾶς, καὶ ἐξαιτοῦντας ἑκάστοτε, τὴν ὑμῶν ἀντίληψιν.

Ὁ Ἱερεύς: **Σῶσον ὁ Θεός...**
Ὠδὴ ζ΄. **Οἱ ἐκ τῆς Ἰουδαίας.**

Ἰσχὺν θείαν λαβόντες, τοῦ Βελίαρ καθείλετε τά σοφίσματα, ἐξ ὧν ἡμᾶς ἀτρώτους, αὐτάδελφοι τηρεῖτε, τοὺς ἐν πίστει κραυγάζοντας· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Σὺν ἀΰλοις Ἀγγέλοις, καθορῶντες τὸ κάλλος Χριστοῦ τὸ ἄχραντον, Θεὸχαρες θεόφρον, ὁμοῦ σὺν Ἀποστόλῳ, ἀμορφίας λυτρώσασθε, τῆς τῶν παθῶν τὰς ψυχάς, ἡμῶν ἐκδυσωποῦμεν.

Γνωμικῇ διαθέσει, ἐν πολλῇ ταπεινώσει Χριστῷ δουλεύσαντες, αὐτῷ ἡμᾶς δουλεύειν, ἐν πάσῃ εὐσεβείᾳ, ἐνισχύσατε Ἅγιοι, ἵνα τῆς ἄνω ζωῆς, ὀφθῶμεν κληρονόμοι.

**Θεοτοκίον.**

Ἐξ ἁγνῶν σου αἱμάτων, σαρκωθεὶς ὑπὲρ φύσιν ὁ Ὑπερούσιος, τὴν βρότειον οὐσίαν, ἐκάθηρε Παρθένε, καὶ ἀνύψωσε ψάλλουσαν· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

**Ὠδὴ η΄. Τὸν Βασιλέα.**

Ρῶσιν αἰτεῖσθε, κατὰ ψυχήν τε καὶ σῶμα, ὦ Θεόχαρες ὁμοῦ σὺν Ἀποστόλῳ, τοῖς ὑπερυψοῦσι, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἄρτα γεραίρει, ὑμῶν τὴν μνήμην τιμῶσα, ὦ Ἀπόστολε ὁμοῦ σὺν Θεοχάρει, ἧπερ ἐξαιτεῖτε, τοὺς οἰκτιρμοὺς τοὺς θείους.

Σύντριψον τάχος, ὦ ξυνωρὶς αὐταδέλφων, τὰ βουλεύματα τὰ καθ' ἡμῶν τοῦ πλάνου, ταῖς πρὸς τὸν Δεσπότην, ὑμῶν ἱκετηρίαις.

**Θεοτοκίον.**

Ἴασαι Κόρη, τὴν ἀσθενοῦσαν ψυχήν μου, πολλοῖς πάθεσιν ἐχθροῦ τῇ ἐπηρείᾳ, καὶ ἀνόρθωσόν με, πρὸς γνῶσιν μετανοίας.

**Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.**

Μονὰς τὰς οὐρανίους, ἤδη κατοικοῦντες, σὺν Θεοχάρει θεόφρον Ἀπόστολε, ὑπὲρ ἡμῶν δυσωπεῖτε τὸν μόνον εὔσπλαγχνον.

Ὁμόνοιαν αἰτεῖσθε, ἡμῖν καὶ σωτηρίαν, τῶν αὐταδέλφων δυὰς ἡ ὑπέρτιμος, καὶ πειρασμῶν πολυτρόπων τὴν ἀπολύτρωσιν.

Ὑψώσατε τὸν νοῦν μου, ἐκ τῶν χαμαιζήλων, πρὸς τὴν ἀγάπην τὴν θείαν τοῦ Κτίσαντος, σὺν Θεοχάρει τῷ

θείῳ μάκαρ Ἀπόστολε.

### Θεοτοκίον.

Ὑδάτων ἀπωλείας ρῦσαί με Παρθένε, καὶ πότισόν με ζωῆς θείας ὕδατι, ἵνα ὑμνῶ καὶ δοξάζω τὰ μεγαλεῖά σου.

### Τὸ Ἄξιόν ἐστι καὶ τὰ μεγαλυνάρια.

Χαίροις αὐταδέλφων ἡ ξυνωρίς, Θεόχαρες μάκαρ, καὶ Ἀπόστολε ἱερέ· βίῳ γὰρ ἀμέμπτῳ, ἐν γῇ πολιτευθέντες, τῆς αἰωνίου δόξης, κατηξιώθητε.

Ὅλην τὴν διάνοιαν πρὸς Χριστόν, γνώμης συμφωνίᾳ, ἀνατείναντες ἐκ παιδός, πάντων τῶν ἐν κόσμῳ, παρείδετε τὴν σχέσιν, αὐτάδελφοι καὶ βίον, θεῖον ἠνύσατε.

Πάσῃ ἐγκρατείᾳ καὶ προσευχῇ, καὶ ἐν ἡσυχίᾳ, διανύοντες τὴν ζωήν, Θεόχαρες μάκαρ, ὁμοῦ σὺν Ἀποστόλῳ, Κυρίῳ θεοφρόνως, εὐηρεστήσατε.

Ἔργοις ἐναρέτοις πόθῳ θερμῷ, αὐτάδελφοι θεῖοι, ἐφεπόμενοι τῷ Χριστῷ, θείας ἐνεργείας, ἐδέξασθε τὰς δόσεις, καὶ τοῦ ἐχθροῦ τὸ θράσος, κατηδαφίσατε.

Ὁσίων μιμούμενοι τὴν ζωήν, Θεόχαρες μάκαρ, καὶ Ἀπόστολε ἱερέ, θείων χαρισμάτων, ἐδείχθητε δοχεῖα καὶ τῆς ἁγιωσύνης σκεύη πολύτιμα.

Δόξης οὐρανίου καὶ θαυμαστῆς, ἐν σκηναῖς ἁγίαις, ἀπολαύοντες νοερῶς, Θεόχαρες μάκαρ, ὁμοῦ σὺν Ἀποστόλῳ, ἡμῶν τὰς ἱκεσίας, πληροῦτε πάντοτε.

Πᾶσαι τῶν Ἀγγέλων...

### Τὸ τρισάγιον, τὰ συνήθη τροπάρια, ἐκτενὴς καὶ ἀπόλυσις, μεθ' ἣν τὸ ἑξῆς:

### Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Δήμοις καὶ χορείαις ἱεραῖς, πάντων τῶν Ἁγίων συνόντες, καὶ ἀγαλλόμενοι, ἅγιε Θεόχαρες σὺν Ἀποστόλῳ ὁμοῦ, θεοφόροι αὐτάδελφοι, ἀεὶ δυσωπεῖτε, χάριν τε καὶ ἔ-

λεος, δίδοσθαι πάντοτε, πᾶσι τοῖς ὑμῖν προσιοῦσι, καὶ πειρατηρίων ποικίλων, λύτρωσιν δεόμεθα μακάριοι.

Δίστιχον.

**Θεόχαρες δέξασθε σὺν Ἀποστόλῳ**
**Τὴν παροῦσαν δέησιν τοῦ Γερασίμου.**

